STEREO AND MONO

33ΥΒΞ 26

# ΒΥΖΑΝΤΙΝΗ ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ

Ἀπὸ τὴν ὑμνολογίαν τῆς ἐκκλησίας μας



ΒΥΖΑΝΤΙΝΗ ΧΟΡΩΔΙΑ
ΥΠΟ ΤΗΝ ΔΙΕΥΘΥΝΣΙΝ ΤΟΥ: ΓΕΩΡ. ΚΑΚΟΥΛΙΔΗ
ΙΕΡΕΥΣ: ΑΘΑΝ. ΤΣΟΥΜΑΡΗΣ

ΔΙΣΚΟΘΗΚΗ ΖΩΗ

STEREO AND MONO

33 ΥΒΞ 28

ΔΙΣΚΟΣ ΟΓΔΟΗΚΟΣΤΟΣ ΕΒΔΟΜΟΣ **87**

# ΒΥΖΑΝΤΙΝΗ ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ

## Ἀπὸ τὴν ὑμνολογίαν τῆς ἐκκλησίας μας


**1** ΥΜΝΟΙ ΧΡΙΣΤΟΥΓΕΝΝΩΝ **2** ΥΜΝΟΙ ΘΕΟΦΑΝΕΙΩΝ **3** Ο ΤΡΙΣΑΓΙΟΣ ΥΜΝΟΣ **4** ΥΜΝΟΙ ΟΡΘΡΟΥ ΤΡΙΩΔΙΟΥ **5** ΥΜΝΟΙ Μ. ΤΕΣΣΑΡΑΚΟΣΤΗΣ **6** ΥΜΝΟΙ ΚΑΤΑΝΥΚΤΙΚΟΥ ΕΣΠΕΡΙΝΟΥ **7** ΥΜΝΟΙ Μ. ΑΠΟΔΕΙΠΝΟΥ **8** ΥΜΝΟΙ Μ. ΕΒΔΟΜΑΔΟΣ **9** ΥΜΝΟΙ ΑΝΑΣΤΑΣΕΩΣ **10** ΥΜΝΟΙ ΕΣΠΕΡΙΝΟΥ (ΠΛΑΓ. Δ΄ ΗΧΟΥ) **11** ΥΜΝΟΙ ΟΡΘΡΟΥ (ΠΛΑΓ. Δ΄ ΗΧΟΥ) **12** ΥΜΝΟΙ ΜΙΚΡΟΥ ΠΑΡΑΚΛΗΤΙΚΟΥ ΚΑΝΟΝΟΣ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ **13** ΥΜΝΟΙ ΕΙΣ ΤΗΝ ΚΟΙΜΗΣΙΝ ΤΗΣ ΥΠΕΡΑΓΙΑΣ ΘΕΟΤΟΚΟΥ **14** ΥΜΝΟΙ ΕΣΠΕΡΙΝΟΥ ΧΡΙΣΤΟΥΓΕΝΝΩΝ **15** ΥΜΝΟΙ ΕΣΠΕΡΙΝΟΥ (ΒΑΡΕΟΣ ΗΧΟΥ) **16** ΥΜΝΟΙ ΟΡΘΡΟΥ (ΒΑΡΕΟΣ ΗΧΟΥ) **17** ΥΜΝΟΙ ΘΕΙΑΣ ΛΕΙΤΟΥΡΓΙΑΣ (ΕΙΣ ΗΧΟΝ Γ΄) **18** ΥΜΝΟΙ ΟΡΘΡΟΥ (ΕΩΘΙΝΑ Α΄ & Β΄ ΗΧΟΥ) **19** ΔΟΞΟΛΟΓΙΑΙ **20** ΠΟΛΥΕΛΕΟΙ **21** ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ (ΤΡΙΦΩΝΟΣ) **22** ΒΥΖΑΝΤΙΝΗ ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ **23** ΥΜΝΟΙ ΝΥΜΦΙΩΝ (ΟΡΘΡΟΣ Μ. ΔΕΥΤΕΡΑΣ & Μ. ΤΡΙΤΗΣ) **24** ΤΕΤΡΑΦΩΝΟΣ ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ **25** ΥΜΝΟΙ ΧΡΙΣΤΟΥΓΕΝΝΩΝ (Α΄ ΕΣΠΕΡΙΝΟΣ) **26** ΥΜΝΟΙ ΧΡΙΣΤΟΥΓΕΝΝΩΝ (Β΄ ΟΡΘΡΟΣ) **27** ΥΜΝΟΙ ΟΡΘΡΟΥ (ΕΩΘΙΝΑ Γ΄ & Δ΄) **28** ΥΜΝΟΙ ΟΡΘΡΟΥ (ΚΑΤ' ΕΚΛΟΓΗΝ) **29** ΥΜΝΟΙ ΕΣΠΕΡΙΝΟΥ (ΠΛΑΓΙΟΥ Β΄ ΗΧΟΥ) **30** ΥΜΝΟΙ ΟΡΘΡΟΥ (ΠΛΑΓΙΟΥ Β΄ ΗΧΟΥ) **31** ΥΜΝΟΙ ΝΥΜΦΙΩΝ ΟΡΘΡΟΣ Μ. ΤΕΤΑΡΤΗΣ (Μ. ΤΡΙΤΗ ΕΣΠΕΡΑΣ) **32** ΥΜΝΟΙ ΠΕΝΤΗΚΟΣΤΗΣ **33** ΥΜΝΟΙ ΘΕΟΦΑΝΕΙΩΝ **34** ΥΜΝΟΙ ΠΛΑΓΙΟΥ ΠΡΩΤΟΥ ΗΧΟΥ **35** ΑΚΟΛΟΥΘΙΑ ΤΗΣ ΑΝΑΣΤΑΣΕΩΣ **36** ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΑΚΑΘΙΣΤΟΥ ΥΜΝΟΥ **37** ΥΜΝΟΙ ΜΥΣΤΙΚΟΥ ΔΕΙΠΝΟΥ ΟΡΘΡΟΣ ΜΕΓΑΛΗΣ ΠΕΜΠΤΗΣ (ΜΕΓ. ΤΕΤΑΡΤΗ ΕΣΠΕΡΑΣ) **38** ΥΜΝΟΙ ΜΕΓΑΛΟΥ ΣΑΒΒΑΤΟΥ (ΕΣΠΕΡΙΝΟΣ - ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ ΜΕΓΑΛΟΥ ΒΑΣΙΛΕΙΟΥ) **39** ΥΜΝΟΙ ΕΚ ΤΗΣ ΑΚΟΛΟΥΘΙΑΣ ΤΩΝ ΠΡΩΤΟΚΟΡΥΦΑΙΩΝ ΑΠΟΣΤΟΛΩΝ ΠΕΤΡΟΥ ΚΑΙ ΠΑΥΛΟΥ (29 ΙΟΥΝΙΟΥ) **40** ΥΜΝΟΙ ΤΕΤΑΡΤΟΥ ΗΧΟΥ **41** ΥΜΝΟΙ ΚΥΡΙΑΚΗΣ ΤΩΝ ΑΓΙΩΝ ΠΑΤΕΡΩΝ **42** ΥΜΝΟΙ ΕΙΣ ΤΗΝ ΥΠΑΠΑΝΤΗΝ ΤΟΥ ΚΥΡΙΟΥ (2 ΦΕΒ.) **43** ΜΕΓΑΣ ΠΑΡΑΚΛ. ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ **44** Α΄ ΥΜΝΟΙ ΑΚΟΛΟΥΘΙΑΣ ΤΩΝ ΠΑΘΩΝ (ΜΕΓ. ΠΕΜΠΤΗ ΕΣΠΕΡΑΣ) **45** Β΄ ΥΜΝΟΙ ΑΚΟΛΟΥΘΙΑΣ ΤΩΝ ΠΑΘΩΝ (ΜΕΓ. ΠΕΜΠΤΗ ΕΣΠΕΡΑΣ) **46** ΥΜΝΟΙ ΤΡΙΤΟΥ ΗΧΟΥ **47** ΥΜΝΟΙ ΔΕΥΤΕΡΟΥ ΗΧΟΥ **48** ΥΜΝΟΙ ΠΡΩΤΟΥ ΗΧΟΥ **49** ΥΜΝΟΙ ΑΚΟΛΟΥΘΙΑΣ ΜΕΤΑΜΟΡΦΩΣΕΩΣ ΤΟΥ ΚΥΡΙΟΥ (6 ΑΥΓ.) **50** ΥΜΝΟΙ ΚΥΡΙΑΚΗΣ ΠΡΟ ΚΑΙ ΜΕΤΑ ΤΗΝ ΧΡΙΣΤΟΥ ΓΕΝΝΗΣΙΝ **51** ΥΜΝΟΙ ΕΟΡΤΗΣ ΠΕΡΙΤΟΜΗΣ ΤΟΥ ΚΥΡΙΟΥ ΚΑΙ ΑΓ. ΒΑΣΙΛΕΙΟΥ (1 ΙΑΝΟΥΑΡΙΟΥ) **52** ΥΜΝΟΙ ΕΙΣ ΤΟΝ ΕΥΑΓΓΕΛΙΣΜΟΝ ΤΗΣ ΘΕΟΤΟΚΟΥ (25 ΜΑΡΤ.) **53** ΥΜΝΟΙ ΜΕΓΑΛΗΣ ΠΑΡΑΣΚΕΥΗΣ ΑΚΟΛΟΥΘΙΑ ΩΡΩΝ ΚΑΙ ΕΣΠΕΡΙΝΟΥ (ΑΠΟΚΑΘΗΛΩΣΙΣ) **54** ΑΚΟΛΟΥΘΙΑ ΕΠΙΤΑΦΙΟΥ ΘΡΗΝΟΥ **55** ΤΕΤΡΑΦΩΝΟΣ ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΑΚΑΘΙΣΤΟΥ ΥΜΝΟΥ **56** ΥΜΝΟΙ ΟΡΘΡΟΥ (ΕΩΘΙΝΑ Ε΄ ΣΤ΄ Ζ΄ Η΄) **57** ΥΜΝΟΙ ΜΕΓΑΛΗΣ ΕΒΔΟΜΑΔΟΣ (ΤΕΤΡΑΦΩΝΟΣ) **58** ΥΜΝΟΙ ΑΚΟΛΟΥΘΙΑΣ ΥΨΩΣΕΩΣ ΤΟΥ ΤΙΜΙΟΥ ΣΤΑΥΡΟΥ (14 ΣΕΠΤΕΜ.) **59** ΥΜΝΟΙ ΠΛΑΓΙΟΥ ΤΕΤΑΡΤΟΥ ΗΧΟΥ **60** ΜΙΚΡΟΣ ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ **61** ΥΜΝΟΙ ΤΡΙΩΔΙΟΥ (ΕΜΜΑΝΟΥΗΛ ΧΑΤΖΗΜΑΡΚΟΥ) **62** ΥΜΝΟΙ ΠΕΝΤΗΚΟΣΤΑΡΙΟΥ (ΕΜΜΑΝΟΥΗΛ ΧΑΤΖΗΜΑΡΚΟΥ) **63** ΑΝΟΙΞΑΝΤΑΡΙΑ - ΜΑΚΑΡΙΟΣ ΑΝΗΡ **64** ΥΜΝΟΙ ΒΑΡΕΟΣ ΗΧΟΥ **65** ΥΜΝΟΙ ΟΡΘΡΟΥ (ΕΩΘΙΝΑ Θ. Ι. ΙΑ. ΑΓ. ΠΑΤΕΡΩΝ) **66** ΥΜΝΟΙ ΠΛΑΓΙΟΥ ΔΕΥΤΕΡΟΥ ΗΧΟΥ **67** ΥΜΝΟΙ ΚΥΡΙΑΚΗΣ ΤΩΝ ΒΑΪΩΝ **68** ΥΜΝΟΙ ΚΑΤΑΝΥΚΤΙΚΩΝ ΕΣΠΕΡΙΝΩΝ (ΚΥΡΙΑΚΗΣ ΤΥΡΙΝΗΣ - Α΄ ΚΥΡΙΑΚΗΣ ΝΗΣΤΕΙΩΝ) **69** ΥΜΝΟΙ ΜΕΓΑΛΟΥ ΑΠΟΔΕΙΠΝΟΥ ΙΔΙΟΜΕΛΑ ΚΥΡΙΑΚΩΝ ΜΕΓ. ΤΕΣΣΑΡΑΚΟΣΤΗΣ **70** ΥΜΝΟΙ ΑΝΑΛΗΨΕΩΣ ΤΟΥ ΚΥΡΙΟΥ **71** ΕΩΘΙΝΑ Α΄ ΕΩΣ ΣΤ΄ **72** ΕΩΘΙΝΑ Ζ΄ ΕΩΣ ΙΑ΄ **73** ΚΥΡΙΑΚΗ ΤΕΛΩΝΟΥ ΚΑΙ ΦΑΡΙΣΑΙΟΥ - ΚΥΡΙΑΚΗ ΑΣΩΤΟΥ **74** ΚΥΡΙΑΚΗ ΤΗΣ ΑΠΟΚΡΕΩ **75** ΚΥΡΙΑΚΗ ΤΗΣ ΤΥΡΙΝΗΣ **76** ΚΥΡΙΑΚΗ ΤΗΣ ΣΤΑΥΡΟΠΡΟΣΚΥΝΗΣΕΩΣ **77** ΚΥΡΙΑΚΗ ΤΗΣ ΟΡΘΟΔΟΞΙΑΣ **78** ΔΕΥΤΕΡΑ ΚΑΙ ΤΕΤΑΡΤΗ ΚΥΡΙΑΚΗ ΝΗΣΤΕΙΩΝ **79** ΠΕΜΠΤΗ ΚΥΡΙΑΚΗ ΝΗΣΤΕΙΩΝ ΚΑΙ ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ ΜΕΓ. ΒΑΣΙΛΕΙΟΥ **80** ΚΥΡΙΑΚΗ ΠΑΣΧΑ - ΘΩΜΑ - ΜΥΡΟΦΟΡΩΝ - ΠΑΡΑΛΥΤΟΥ **81** ΚΥΡΙΑΚΗ ΣΑΜΑΡΕΙΤΙΔΟΣ - ΤΥΦΛΟΥ - ΠΑΤΕΡΩΝ - ΠΕΜΠΤΗ ΑΝΑΛΗΨΕΩΣ **82** ΚΥΡΙΑΚΗ ΠΕΝΤΗΚΟΣΤΗΣ - ΑΓΙΩΝ ΠΑΝΤΩΝ **83** ΘΕΟΤΟΚΕ ΠΑΡΘΕΝΕ ΠΕΤΡΟΥ ΜΠΕΡΕΚΕΤΟΥ **84** ΚΥΡΙΑΚΗ ΤΟΥ ΘΩΜΑ **85** ΥΜΝΟΙ ΠΕΝΤΗΚΟΣΤΑΡΙΟΝ ΚΥΡΙΑΚΗ ΜΥΡΟΦΟΡΩΝ - ΠΑΡΑΛΥΤΟΥ **86** ΥΜΝΟΙ ΠΕΝΤΗΚΟΣΤΑΡΙΟΥ ΚΥΡΙΑΚΗ ΣΑΜΑΡΕΙΤΙΔΟΣ - ΤΥΦΛΟΥ **87** ΒΥΖΑΝΤΙΝΗ ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ


ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ
ΑΠΟ ΒΥΖΑΝΤΙΝΗ ΧΟΡΩΔΙΑ ΥΠΟ ΤΗΝ
ΔΙΕΥΘΥΝΣΙΝ. ΓΕΩΡΓΙΟΥ Ι. ΚΑΚΟΥΛΙΔΗ

### ΟΨΙΣ Α΄

### ΔΟΞΟΛΟΓΙΑ

Ἦχος α΄.

Δόξα σοι τῷ δείξαντι τὸ Φῶς.
Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διά τὴν μεγάλην σου δόξαν.

Κύριε Βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ παντοκράτορ· Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρὸς καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Εὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά σου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς· ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Σήμερον σωτηρία τῷ κόσμῳ γέγονεν. Ἄσωμεν τῷ ἀναστάντι ἐκ τάφου καὶ ἀρχηγῷ τῆς ζωῆς ἡμῶν· καθελὼν γὰρ τῷ θανάτῳ τὸν θάνατον, τὸ νῖκος ἔδωκεν ἡμῖν, καὶ τὸ μέγα ἔλεος.

### ΜΕΓΑΛΗ ΣΥΝΑΠΤΗ - ΑΝΤΙΦΩΝΑ

Εὐλογημένη ἡ Βασιλεία τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἀμήν.

Ἐν εἰρήνῃ, τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ἐλέησον.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ἐλέησον.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν καὶ τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ἐλέησον.

Ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν, τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ἐλέησον.

Ὑπὲρ τῆς πόλεως ταύτης, πάσης πόλεως, χώρας καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ἐλέησον.

Ὑπὲρ τοῦ ρυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Κύριε, ἐλέησον.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Σοί, Κύριε.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις τῷ Πατρὶ...

Ἀμήν.

Ταῖς προσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.

Δόξα Πατρί...

Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ ἀθάνατος ὑπάρχων καὶ καταδεξάμενος, διὰ τὴν ἡμετέραν σωτηρίαν, σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρωθείς τε, Χριστὲ ὁ Θεός, θανάτῳ θάνατον πατήσας, εἷς ὢν τῆς Ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ Ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς.

Ἔτι καὶ ἔτι, ἐν εἰρήνῃ, τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ἐλέησον.

Ἀντιλαβοῦ...

Κύριε, ἐλέησον.

Τῆς Παναγίας ἀχράντου...

Σοί Κύριε.

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἀμήν.

Τὸν συνάναρχον Λόγον Πατρὶ καὶ Πνεύματι, τὸν ἐκ Παρθένου τεχθέντα εἰς σωτηρίαν ἡμῶν, ἀνυμνήσωμεν πιστοὶ καὶ προσκυνήσωμεν· ὅτι ηὐδόκησε σαρκί, ἀνελθεῖν ἐν τῷ Σταυρῷ, καὶ θάνατον ὑπομεῖναι, καὶ ἐγεῖραι τοὺς τεθνεῶτας, ἐν τῇ ἐνδόξῳ ἀναστάσει αὐτοῦ.

Σοφία, Ὀρθοί.

### ΕΙΣΟΔΙΚΟΝ - ΚΟΝΤΑΚΙΟΝ - ΤΡΙΣΑΓΙΟΣ ΥΜΝΟΣ

Δεῦτε προσκυνήσωμεν, καὶ προσπέσωμεν Χριστῷ· σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι, ἀλληλούϊα.

Προστασία τῶν Χριστιανῶν ἀκαταίσχυντε,
μεσιτεία πρὸς τὸν Ποιητὴν ἀμετάθετε,
μὴ παρίδῃς, ἁμαρτωλῶν δεήσεων φωνάς·
ἀλλὰ πρόφθασον ὡς ἀγαθὴ
εἰς τὴν βοήθειαν ἡμῶν,
τῶν πιστῶς κραυγαζόντων σοι·
τάχυνον εἰς πρεσβείαν
καὶ σπεῦσον εἰς ἱκεσίαν,
ἡ προστατεύουσα ἀεί,
Θεοτόκε,
τῶν τιμώντων σε.

Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ἐλέησον.

Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἀμήν.

Ἅγιος ὁ Θεός, ἅγιος Ἰσχυρός, ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἱερεύς: Δύναμις

«ΔΥΝΑΜΙΣ» Ἀργόν.

### ΟΨΙΣ Β΄

### ΧΕΡΟΥΒΙΚΟΣ ΥΜΝΟΣ

Ἦχος πλ. α΄.

Οἱ τὰ χερουβεὶμ μυστικῶς εἰκονίζοντες, καὶ τῇ ζωοποιῷ Τριάδι τὸν τρισάγιον ὕμνον προσάδοντες, πᾶσαν τὴν βιωτικὴν ἀποθώμεθα μέριμναν.

Ἀγαπήσωμεν ἀλλήλους, ἵνα ἐν ὁμονοίᾳ ὁμολογήσωμεν.

Πατέρα, Υἱόν, καὶ Ἅγιον Πνεῦμα, Τριάδα ὁμοούσιον καὶ ἀχώριστον.

Ἔλεον εἰρήνης, θυσίαν αἰνέσεως.

Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ Πατρός καὶ ἡ κοινωνία τοῦ Ἁγίου Πνεύματος, εἴη μετὰ πάντων ὑμῶν.

Καὶ μετὰ τοῦ πνεύματός σου.

Ἄνω σχῶμεν τὰς καρδίας.

Ἔχομεν πρὸς τὸν Κύριον.

Εὐχαριστήσωμεν τῷ Κυρίῳ.

Ἄξιον καὶ δίκαιον.

Τὸν ἐπινίκιον ὕμνον ᾄδοντα, βοῶντα, κεκραγότα καὶ λέγοντα:

Ἅγιος, Ἅγιος, Ἅγιος, Κύριος, Σαβαώθ· πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου. Ὡσαννὰ ἐν τοῖς ὑψίστοις. Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Ὡσαννὰ ἐν τοῖς ὑψίστοις.

Ἱερεύς: Τὰ σὰ ἐκ τῶν σῶν κλπ.

Σὲ ὑμνοῦμεν, σὲ εὐλογοῦμεν, σοὶ εὐχαριστοῦμεν, Κύριε, καὶ δεόμεθά σου, ὁ Θεὸς ἡμῶν.

Ἱερεύς: Ἐξαιρέτως κλπ.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς μακαρίζειν σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον, καὶ παναμώμητον, καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου, Κύριε.

Τὴν ἑνότητα τῆς πίστεως καὶ τὴν κοινωνίαν τοῦ Ἁγίου Πνεύματος αἰτησάμενοι, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Σοί, Κύριε.

Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἀμήν.

Πρόσχωμεν, τὰ ἅγια τοῖς ἁγίοις.

Εἷς Ἅγιος, εἷς Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

### ΚΟΙΝΩΝΙΚΟΝ - ΕΙΔΟΜΕΝ ΤΟ ΦΩΣ - ΕΙΗ ΤΟ ΟΝΟΜΑ...

Ἦχος α΄.

Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν. Ἀλληλούϊα.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου.

Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν, ἐλάβομεν πνεῦμα ἐπουράνιον, εὕρομεν πίστιν ἀληθῆ, ἀδιαίρετον Τριάδα προσκυνοῦντες· αὕτη γὰρ ἡμᾶς ἔσωσεν.

Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

Δι' εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, Κύριε, Ἰησοῦ Χριστέ, ὁ Θεός, ἔλησον καὶ σῶσον ἡμᾶς.

Ἀμήν.


ΕΚΔΟΣΙΣ ΖΩΗ ΚΑΡΥΤΣΗ 14, ΑΘΗΝΑΙ